videmus ex muſica fieri: reſtat ergo quòd ad degendum in otio, ad quod & apparet eam adhiberi, quam enim putant degentiam eſſe ingenuorum hominum, in ea conſtituunt. Quapropter Homerus in poëmate ſuo ita inquit:

Sed quale eſt vocari ad menſam opiparè paratam.

Deinde nominans quoſdam alios, ſubdit:

Et accerſunt citharœdum qui omnes demulceat.

Et alio loco ait Vlyſſes:

Optimam eſſe degendi rationem, quando læti omnibus conuiuæ audiunt citharœdum, ſedentes per ordinem.

Quòd igitur ſit diſciplina quædam, quam non vt vtilem, neque vt neceſſariam docendi ſunt filij, ſed vt liberalem & honeſtam, manifeſtum eſt. Vtrum autem vna ſit numero, an plures, & quænam iſtæ, & quomodo, poſterius dicetur. Nunc tantum id præmiſſum ſit, quòd apud antiquos habemus teſtimonium ex his diſciplinis quas diximus, muſica enim hoc manifeſtat. Ac etiam de vtilibus, quòd aliqua addiſcere pueros oportet, non modò propter vtilitatem, vt patet in literis, verumetiam propter multas diſciplinas alias, quæ per literas addiſcuntur. Similiter verò figurandi peritiam, non vt in venundando emendóque vaſa non decipiantur, ſed potius quia contemplari facit pulchritudinem corporum, quærere verò vtilitatem vbique, minimè congruit magnanimis, & ingenuis hominibus. Cùm verò manifeſtum ſit, vtrum moribus an ratione ſit diſciplina tradenda, & an circa corpus primo vel circa mentem, patet ex his quòd adoleſcentes gymnaſticæ & pædotribicæ ſunt tradendi: quarum altera qualem aliquam facit habitudinem corporis, altera operationes.

CAPVT IIII.

NVnc autem quæ ciuitates curam habere puerorum maximè videntur, partim athletarum habitudinem inducere ſtudent, in quo deformant corpora ac augmentationem eorum impediunt. Lacones verò in hoc quidem non errant, ſed efferatos laboribus reddunt adoleſcentes, quaſi hoc vtile ſit maximè ad fortitudinem. Atqui, vt iam ſæpius diximus, neque ad vnam virtutem, neque ad hanc

ἐκ τῆς μουσικῆς. λείπεται τοίνυν πρὸς τὴν ἐν τῇ σχολῇ διαγωγήν· εἰς ὅπερ καὶ φαίνονται παράγοντες αὐτήν. ἣν γὰρ οἴονται διαγωγὴν εἶναι τῶν ἐλευθέρων, ἐν ταύτῃ τάττουσι. διόπερ Ὅμηρος οὕτως ἐποίησεν·

Ἀλλ' οἷον μέν ἐστι καλεῖν ἐπὶ δαῖτα θαλείην.

καὶ οὕτω προειπὼν, ἑτέρους τινάς,

Οἳ καλέουσιν ἀοιδὸν, φησὶν, ὅ κεν τέρπῃσιν ἅπαντας.

καὶ ἐν ἄλλοις δέ φησιν Ὀδυσσεὺς ταύτην ἀρίστην εἶναι διαγωγὴν, ὅταν εὐφραινομένων τῶν ἀνθρώπων,

Δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ,

Ἥμενοι ἑξείης. ὅτι μὲν τοίνυν ἐστὶ παιδεία τις, ἣν οὐχ ὡς χρησίμην παιδευτέον τοὺς υἱεῖς, οὐδ' ὡς ἀναγκαίαν, ἀλλ' ὡς ἐλευθέριον καὶ καλὴν, φανερόν ἐστι. πότερον δὲ μία τὸν ἀριθμὸν ἢ πλείους, καὶ τίνες αὗται, καὶ πῶς, ὕστερον λεκτέον περὶ αὐτῶν. νῦν δὲ τοσοῦτον ἡμῖν εἶναι πρὸ ὁδοῦ γέγονεν, ὅτι καὶ παρὰ τῶν ἀρχαίων ἔχομέν τινα μαρτυρίαν ἐκ τῶν καταβεβλημένων παιδευμάτων· ἡ γὰρ μουσικὴ τοῦτο ποιεῖ δῆλον. ἔτι δὲ καὶ τῶν χρησίμων ὅτι δεῖ τινα παιδεύεσθαι τοὺς παῖδας, οὐ μόνον διὰ τὸ χρήσιμον ὂν, τὴν τῶν γραμμάτων μάθησιν, ἀλλὰ καὶ διὰ τὸ πολλὰς ἐνδέχεσθαι γίγνεσθαι δι' αὐτῶν μαθήσεις ἑτέρας. ὁμοίως δὲ καὶ τὴν γραφικὴν, οὐχ ἵνα ἐν τοῖς ἰδίοις ὠνίοις μὴ διαμαρτάνωσιν, ἀλλ' ὦσιν ἀνεξαπάτητοι πρὸς τὴν τῶν σκευῶν ὠνήν τε καὶ πρᾶσιν· ἢ μᾶλλον ὅτι ποιεῖ θεωρητικὸν τοῦ περὶ τὰ σώματα κάλλους. τὸ δὲ ζητεῖν πανταχοῦ τὸ χρήσιμον, ἥκιστα ἁρμόττει τοῖς μεγαλοψύχοις καὶ τοῖς ἐλευθέροις. ἐπεὶ δὲ φανερὸν πότερον τοῖς ἔθεσιν, ἢ τῷ λόγῳ παιδευτέον εἶναι, καὶ περὶ τὸ σῶμα πρότερον, ἢ τὴν διάνοιαν, δῆλον ἐκ τούτων, ὅτι παραδοτέον τοὺς παῖδας γυμναστικῇ, καὶ παιδοτριβικῇ. τούτων γὰρ ἡ μὲν ποιάν τινα ποιεῖ τὴν ἕξιν τοῦ σώματος, ἡ δὲ τὰ ἔργα.

Κεφάλαιον δ.

Νῦν μὲν οὖν αἱ μάλιστα δοκοῦσαι τῶν πόλεων ἐπιμελεῖσθαι τῶν παίδων, αἱ μὲν ἀθλητικὴν ἕξιν ἐμποιοῦσι λωβώμεναι τά τε εἴδη, καὶ τὴν αὔξησιν τῶν σωμάτων. οἱ δὲ Λάκωνες ταύτην μὲν οὐχ ἥμαρτον τὴν ἁμαρτίαν· θηριώδεις δ' ἀπεργάζονται τοῖς πόνοις, ὡς τοῦτο πρὸς ἀνδρείαν μάλιστα συμφέρον. καί τοι, καθάπερ εἴρηται πολλάκις, οὔτε πρὸς μίαν, οὔτε πρὸς μάλιστα